Ακαδημία Αθηνών / Academy of Athens

τῆς ἐν ἰσχύϊ νομολογίας τοῦ Ἀβδουρραχίμ, τυπωθείσης ἐν Κπ. κατὰ τὸ ἔτος 1827 καὶ μεταφρασθέντων ἐκ τοῦ τουρκικοῦ, ὑπὸ Δ. Κουμουνδουράκη...». Περὶ τῆς σημασίας τῆς λ. *«ἀβδουρραχίμ»*, βλ. ἐν *335*, σ. 490.

276

1715–1733. Διάταξις πΚ. Ἱερεμίου Γ′,

περὶ ἐθιμικοῦ κληρον. δικαίου ἐν περιοχαῖς Θρᾴκης, ἐν *80*, σ. 46–47.

«Ἱερώτατε μητροπολῖτα Φιλιππουπόλεως ... καὶ εὐλαβέστατοι ἱερεῖς καὶ χρήσιμοι γέροντες τῶν χωρίων Στενημάχου καὶ Ἀμπελιανοῦ ... ἀποφαινόμεθα συνοδικῶς ... ἵνα ἀπὸ τοῦ νῦν ... κληρονομῶσι τὸν θανόντα τὰ θηλυκὰ παιδία ὡς νενόμισται. Οἱ ἀδελφοὶ τοῦ θανόντος καὶ ἐξάδελφοι καὶ ἀνεψιοὶ μακρὰν ἀπέχωσιν ἀπὸ τὴν ἄδικον ἀπαίτησιν τῆς παρανόμου κληρονομίας ...».

277

1715–1733. Συνοδικὸν Γράμμα πΚ. Ἱερεμίου Γ′ περὶ κληρονομικῶν ζητημάτων κλπ.

ἐν *70*, Α′ σ. 148–151.

«Ἀποκρινούμεθα ... ὅτι ἡ διατετιμημένη προὶξ καὶ ἡ ἀδιατίμητος ἀντικειμένως ἔχουσιν, ὡς καὶ ἐκ τῶν ὀνομάτων δῆλον ἐστί. Καὶ ἡ μὲν διατετιμημένη προὶξ τῷ ἀνδρὶ κινδυνεύεται· κἂν ἀποθάνῃ τὰ ζῶα, κἂν ἡ γυνὴ τὴν ἐσθῆτα κατατρίψῃ, τὴν ἀποτίμησιν αὐτῶν δίδωσιν ὁ ἀνήρ, καὶ ἡνίκα παραλάβῃ τι εἰς προῖκα κατὰ διατίμησιν, χρεωστεῖ τὴν τιμήν, κἂν τε ἐβελτίωσεν αὐτὸς κερδαίνει, κἂν τε ἐμείωσεν αὐτὸς κινδυνεύει καὶ ὑπόκειται. Τῆς δὲ ἀδιατιμήτου προικὸς καὶ ἡ αὔξησις καὶ ἡ μείωσις τὴν γυναῖκα ὁρᾷ, καὶ λαμβάνει μὲν αὐτὴ τὸν τοκετὸν τῶν δούλων, τοὺς δὲ καρποὺς καὶ τὴν γονὴν τῶν θρεμμάτων ὁ ἀνὴρ λαμβάνει. Πρότερον μέντοι πληρῶν τὰ πρωτότυπα, καὶ ὑποβάλλων ἀντὶ τῶν τελευτώντων ἐκ τῶν ἐπιγενομένων, εἰς ἀναπλήρωσιν δηλονότι τῶν πρωτοτύπων. Οὐκ ἔστιν οὖν τὴν ἀδιατίμητον προῖκα ἰσοδυναμεῖν τῇ διατετιμημένῃ, εἰ καὶ τοὐναντίον ἔσθ' ὅτε συμβαίνει, καὶ ἡ διατετιμημένη προὶξ ὡς ἀδιατίμητος γίνεται καὶ λογίζεται, κατὰ συναρέσκειαν καὶ θέλησιν ἀμφοτέρων τῶν μερῶν τοῦ ἀνδρογύνου καὶ τῇ γυναικὶ κινδυνεύει, ἀλλὰ τὸ ἐκ συμφωνίας ἀμφοτέρων τῶν μερῶν τοῦ ἀνδρογύνου γίνεται, οὐ μὴν δὲ ἁπλῶς καὶ ὡς ἔτυχε. Τὴν δὲ ἀδιατίμητον προῖκα ἰσοδυναμεῖν τῇ διατετιμημένῃ οὐ γέγραπται περὶ τούτου ὅλως ἐν τοῖς νομικοῖς διατάγμασι, καὶ λοιπὸν παράλογος ἐστὶν ἡ περὶ τούτου αὐτόθι συνήθεια καὶ οὐ δεῖ ταύτην ἐνεργεῖσθαι τοῦ λοιποῦ, ὡς ἀγνοουμένην τοῖς ἱεροῖς νόμοις. Ἡ αὔξησις δὲ καὶ τὸ κέρδος τῶν χάριν προικὸς δοθέντων μετρητῶν, καὶ οἱ καρποὶ τῆς λοιπῆς προικὸς καὶ ἡ τῶν θρεμμάτων γονὴ τῆς γυναικὸς ἔτι ζώσης, τοῦ ἀνδρὸς εἰσίν, ὡς προείρηται, ἀπαραμειώτων σωζομένων τῶν πρωτοτύπων.

Ὅταν δὲ ἡ γυνὴ ἀποθάνῃ καὶ καταλείψῃ παιδίον, τηνικαῦτα τὰ χάριν προικὸς δοθέντα μετρητὰ καὶ ἡ λοιπὴ καθόλου προὶξ καὶ περιουσία τῆς μητρὸς τοῦ παιδίου, καὶ δὴ καὶ αἱ πρὸ γάμου δωρεαὶ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα, εἴτε πράγματα, εἴτε ἄσπρα, ταῦτα πάντα κληρονομία γίνονται τοῦ καταλειφθέντος παιδίου, πλὴν ἐὰν φυλάξῃ χηρείαν παντελῆ εἰς τὸ ἑξῆς ὁ ἀνήρ, καὶ μηκέτι εἰς ἄλλον ἀποβλέψῃ γάμον, τότε λαμβάνει αὐτὸς τὸ τέταρτον

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ